εἶναι τὰ ἐν τῇ φύσει, ἢ ϗ ἀνέμους, ϗ καταιγίδας, ϗ κέδρους τὰς ἐν τῷ Λιβάνῳ, ϗ ὄρη τὰ ἐπὶ τῆς γῆς, μέλη Θεοῦ εἶναι λέγοι, ὅτι τοῦ Θεοῦ εἶναι ϗ ταῦτα ἐν ταῖς ἱεραῖς γραφαῖς πολλαχοῦ σεσημείωται. Θαυμάζειν δὲ ἔπεισιν εἰκότως, ὅτι τοῦτο ὁ αὐτὸς Σπινόζας ἐν τῷ θεολογικο-πολιτικῷ συγγράμματι αὐτοῦ προσσημειωσάμενος, μηδ' ὑπὸ ἑτέρου παιδευθῆναι χρήζων, εἶτα ἐπιλελῆσθαι δοκεῖ, λήσειν τυχὸν τοὺς ἄλλους ἐπιχειρῶν, καίτοι προφανέσιν ἀντιφάσεσιν ἐκτραχηλιζόμενος. Τῷ ὄντι δὲ διαπρυσίως τε ϗ ἀμφιλαφῶς τῶν γραφῶν κηρυττουσῶν, ἁπάντων εἶναι τῶν ἐν τῷ συντάγματι τῷδε τὸν Θεὸν δημιουργόν τε ϗ κτίστην, ϗ ταῦτα μὴ ἀπ' αἰῶνος, ἀλλ' ἐν χρόνῳ ἀπὸ τοῦ μηδενὸς ἐπὶ τὸ εἶναι παραγαγεῖν, ϗ τούτων ἄρχειν παντελευθέρως, ϗ τὰ τοιαῦτα, εἴτις ϗ μικρᾷ προσοχῇ χρησάμενος τὰ λεγόμενα ταῦτα ἀναλογιζόμενος ἀποδέχοιτο, πῶς οὐκ ἂν ἐν τοῖς αἰσχίστοις τάξειε ψεύδεσι, ϗ κουφοτάτοις πλάσμασι, τὸ ὑπὸ τῶν θεοφορήτων συγγραφέων ἐκείνων δοξάζεσθαι, τὸν Θεὸν ταῦτα τυγχάνειν τὰ ὁρατὰ ϗ κινούμενα; Ἀλλ' ὁ Ποϊρέτος, καίτοι τοῖς ἀμφὶ Σπινόζαν συνεκμανεὶς, ἄκων πως οἱονεὶ ἔπειτα ὑπὸ τῆς ἱερᾶς ἀληθείας ἀναγκαζόμενος, ἑαυτοῦ τε ϗ τῶν ὁμοφρονούντων ἄγνοιαν παντελῆ κατηγορεῖ τοῦ φρονήματος (1). Αὐτὸς γὰρ παρ' ἑαυτοῦ διαπυνθανόμενος, τί ποτ' ἂν ἄρα εἴη ἡ πρόβλυσις αὕτη τῆς ψυχῆς ἐκ Θεοῦ, μὴ ὁμολογῆσαι, ἣν περὶ τοῦ τοιούτου ἄγνοιαν ἔχει, οὐδαμῶς ἔσχεν. Ἀλλ' εἴτις, φησὶ, βαθύτερον ἐξετάζοι, τίς ἡ ἀπὸ Θεοῦ αὕτη ἀποῤῥοή τε ϗ πρόβλυσις τῆς ψυχῆς, τῆς ἐξ αὐτοῦ ἐξιούσης τε ϗ τικτομένης, ἴσως μοι τοῦτο ἀκριβέστερον μὴ ἐξεῖναι νοεῖν. Οἶμαι δὲ, ὅτι οὐδὲ τῶν κτισμάτων οὐδὲν ἐν τῷ τῇδε βίῳ διανοίᾳ ἐφικέσθαι ὅλως δύναται τοῦ λεγομένου. Τοσούτου δεῖ τοῦ παρὰ τῶν ἄλλων νοεῖσθαι τὰ ὑπ' αὐτῶν δὴ τούτων τῶν φρονούντων τὰ τοιαῦτα μηδόλως περινοούμενα.

## ΚΕΦΑΛ. Β'.

## Περὶ ἑνώσεως ψυχῆς μετὰ τοῦ σώματος.

### Πρότ. Κ'.

„Ἑνοῦται ἡ ψυχὴ τῷ σώματι, ἐν ᾧ τὸ ζῆν τῷ ἀνθρώπῳ περίεστι.

(1) Ἐν τῷ Α'. περὶ θείας Οἰκον. Κεφ. Γ'. §. β'. §. κ'. §. κδ'. κτλ.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Δεῖξις.

Συνῆφθαι τὴν ψυχὴν τῷ σώματι λέγομεν, ἐφ' ὅσον ἁρμονικῶς αἱ ἑκατέρων ἐνέργειαι συναπογεννῶνται ἀλλήλαις ϗ συμπροΐασι κατὰ τοὺς ἐκ τοῦ Σιλουανοῦ τοῦ Ῥηγίου ἀνωτέρω καταλεχθέντας θεσμούς. Ἀλλ' ἐν ᾧ τὸ ζῆν τῷ ἀνθρώπῳ περίεστι, τοῦτο τελεῖται. Ἄρα κτ.

## Σχόλιον.

Μηδένα οἶμαι γενήσεσθαι τῶν φιλοσοφούντων, ὃς ἂν ἐνδοιάσειε περὶ τῆς ἑνώσεως τῆς ψυχῆς σὺν τῷ σώματι, περιόντος τοῦ βίου· ὅπως δὲ ἡ ἕνωσις αὕτη τελεῖται, περὶ τούτου ζητεῖν δίκαιον. Α΄. οὖν οἱ Περιπατητικοὶ τὴν ψυχήν, φασὶν, εἶδος εἶναι οὐσιῶδες τοῦ σώματος, δι' ὅλου αὐτοῦ διϊὸν, ὅλην ἐν ὅλῳ, ϗ ὅλην ἐν μέρει ἑκάστῳ, ἀρχὴν ζωτικὴν τοῦ αὐτοῦ οὐχ ὅπως, ἀλλὰ ϗ οὐσιώδη. Ταύτῃ τοι ϗ ἐπιῤῥοὴν εἶναι ἀμοιβαδὸν τῶν οὐσιῶν τουτωνὶ μεταξὺ ἑκατέρων, μεταβαλλουσῶν μὲν τῶν ἐννοιῶν εἰς τὸ σῶμα, μεταβαλλουσῶν δὲ τῶν κινήσεων εἰς τὴν ψυχήν (1). Β΄. Ὁ δὲ Πλάτων οἷα δὴ τῆς νηὸς τὸν κυβερνήτην, οὕτω τοι τοῦ σώματος προΐστησι τὴν ψυχὴν, οἱονεὶ ὀργάνῳ τούτῳ χρωμένην· τὴν δὲ ἐνέργειαν, τήντε ζωτικὴν ϗ αἰσθητικὴν, ὑπὸ μέσης τινὸς φύσεως οἴεται προσεῖναι τῷ σώματι (2). Καὶ ταύτην δὲ τὴν δόξαν ἔοικε ϗ Αὐγουστῖνον ἀσπάσασθαι (3), ἧς ἔσχατον ϗ Γασσένδος, ϗ Κουδβόρτιος, ϗ Κλέρικος προέστησαν (4). Γ΄. Ἐν τούτῳ δὲ τῷ Πλάτωνι ϗ Καρτέσιος συμφωνῶν ἐγένετο, ὅτι μὴ εἶναι εἶδος οὐσιῶδες τοῦ σώματος τὴν ψυχὴν ὑπείληφε, παρεῖναι δὲ ἐν μόνῳ τῷ ἐγκεφάλῳ, κἀντεῦθεν διὰ τῶν πνευμάτων τῶν ζωτικῶν τῷ σώματι τὰς κινήσεις παρεμποιεῖν· μηδεμίαν ἀλλ' οὖν αἴσθησιν ἐγείρεσθαι, ὅτι μὴ τῇ ψυχῇ, διὸ οὐδὲ μέσην ἐγχωρεῖν φύσιν τινὰ, ϗ οὐσίαν. Δ΄. Μαλεβράγχιος δὲ ϗ Σιλουανὸς ὁ Ῥήγιος πολλῷ ἔτι ποῤῥωτέρω προήχθησαν. Ὃ γὰρ Πλάτων οὐκ ἀπηνήνατο, οὐδὲ ἀριδήλως ἀπέφη Καρτέσιος, σαφῶς οὗτοι ὑπέθεντο, μηδένα τρόπον τὴν ψυχὴν τῷ σώματι ἐπενεργεῖν ἐκδιδάξαντες, ἀλλ' ἐξ ἀφορμῆς τῶν ἐννοιῶν τῆς ψυχῆς τὸν θεὸν εἶναι τὸν κινοῦντα τὸ σῶμα, ὥσπερ ἐξ ἀφορμῆς τῶν κινήσεων τῶν ἐνεγειρομένων τῷ σώματι αὐ-

(1) *Ακινάτ. ἐν ἀμφ. ταῖς συνόψ.*

(2) *Πλάτ. ἐν Ἀλκιβιάδ. ϗ Φαίδ.*

(3) *Περὶ πηλικ. ψυχ. Κεφ. ΛΑ΄. ϗ ΛΒ΄.*

(4) *Ὅρα Κλέρ. Βιβλιοθήκ. chois Τόμ. Β΄. Σελ. 213.*



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸν τοῦτον εἶναι τὸν διατιθέμενον τὴν ψυχήν, καθ' ὃ δὴ ϗ πᾶσα πραγματιώδης κοινωνία τῶν δύο τουτωνὶ φύσεων ῥιζόθεν τούτοις διεσπάσθη τε ϗ διέῤῥηκται. Ε'. Οἱ δ' ἀμφὶ Λεϊβνίτιον ϗ Οὐόλφιον ἐν τούτῳ τοῖς περὶ Μαλεβράγχιον συνᾴδοντες ὤφθησαν, ὅτι ϗ αὐτοῖς φαινομένη ἡ ψυχῆς μεταξὺ ϗ σώματος κοινωνία, ϗ μὴ πραγματιώδης νενόμισται, οὐ μὴν ἀλλ' οὐχὶ εἰς Θεὸν καταπεφευγόσιν, ὡς ἐκεῖνοι τὸν ἐξ ἀφορμῆς τῶν ἑτέρου διαθέσεων ἐνεργοῦντα ἐφ' ἕτερον, ἐξ αὐτῆς δὲ τῆς σώματος ϗ ψυχῆς φύσεως, κατὰ τεταγμένην τινὰ ἁρμονίαν, ἀναπτύξαι τὸ πρᾶγμα πειρασαμένοις. Τούτων οὖν τῶν οὕτω διαφερουσῶν ὑπολήψεων, ἡμῖν μὲν οὐδαμῶς, Θεῷ δὲ τῷ τὰ πάντα εἰδότι σαφές, τίς ποτε ἡ τοῦ ἀληθοῦς ἐχομένη μᾶλλον, ἧττον δ' ἀπέχουσα. Ἀρέσκει γεμὴν αὐτῶν ἡ μὲν Α'. τοῖς πανθεΐταις, ϗ τοῖς ἀμφὶ Δώκιον· ἡ δὲ Δ'. τοῖς ἐνθουσιασταῖς· ἡ δὲ Ε'. τοῖς ἰδεΐταις· ἡ δὲ τοῦ Πλάτωνος τοῖς γενναιοτέροις τῶν φιλοσόφων· ἡ δὲ τοῦ Καρτεσίου τοῖς μηχανικοῖς. Ἅπασαι γεμὴν σφαλεραί τε ἐπίσης αἱ δόξαι αὗται, καὶ εὐπερίτρεπτοι, ὃ δεῖξαι τοῖς ἐφεξῆς θεωρήμασι πειρασόμεθα.

## Πρότ. ΚΑ'.

„Ἡ τῶν Σχολαστικῶν δόξα ὑπὲρ τὰς λοιπὰς τῇ ἀνθρώπου φύσει προσ-
„φυεστέρα τυγχάνει οὖσα, οὐδ' ἀντιβαίνει τοῖς φαινομένοις. Ἀλλὰ γὰρ οὐ
„πάντῃ ἀσφαλής ἐστι, ϗ οὐδὲ τῇ τῆς ψυχῆς φύσει ἄλις συνᾴδουσα.

## Δεῖξις.

Α'. Ἡ ψυχή, ἐν ᾧ τὸ ζῆν τῷ ἀνθρώπῳ περίεστι, συνῆπται τῷ σώματι (Πρ. Κ'.), ϗ πραγματιώδη μετὰ τούτου ἔχει τὴν κοινωνίαν, εἰμὴ τὴν ἐν σφίσιν αὐτοῖς συνείδησιν ἑλοίμεθα ἀπαναίνεσθαι. Ἐκ γὰρ τῆς πραγματιώδους ταύτης κοινωνίας ἡ ἀνθρωπίνη συνέστηκε φύσις. Ἔνεστι δὲ ταῖς γε τῆς ψυχῆς, ϗ ταῖς τοῦ σώματος ἐνεργείαις ἁπάσαις αὐτοτελής τις, ϗ ἀκριβῶς ἔχουσα ἁρμονία. Τὸ δὲ ψευδὲς ἂν ἦν, μὴ νοουμένης τῆς ψυχῆς ὡς πρώτης ἐντελεχείας τοῦ ἀνθρωπίνου σώματος, ἐξ ἧς ἡ ἀνθρώπῳ προσήκουσα ἐνέργεια ϗ ζωὴ διασώζεται. Ἐπεὶ τοίνυν οἱ ἄλλοι ἐν φιλοσόφοις διασπῶσι μὲν τὴν κοινωνίαν, καθαιροῦσι δὲ τὴν ἐντελέχειαν, ἐκεῖνα δήπου διδάσκουσιν, ἃ καὶ τὴν ἀνθρωπίνην ἀναιρεῖ φύσιν, ϗ τὴν ἐν ἑκάστῳ συνείδησιν ἀποκρούεται. Συμφώνως ἄρα τῇ τε ἀνθρώπου φύσει, ϗ τῇ ἐν ἑκάστῳ ἐνδοτάτῃ συνειδήσει οἱ Σχολαστικοὶ περὶ τούτου ἀποφαίνονται.

Β΄. Αἱ τῇ ἀνθρώπου προσηκούσαι φύσει ἐνέργειαι ἐπὶ δυσὶν ἀνατίθενται γένεσι κινήσεών τε ϗ διανοήσεων. Τῶν δὲ κινήσεων αἱ μὲν ἔμφυτοι, οἷα περ ἡ ὁμαλὴ ἐκείνη, ἥ περ ἡ πλαστική τε ϗ αἰσθητικὴ συνέχεται, ϗ συνίσταται ζωὴ ἐν ἀνθρώπῳ, ἡ συνεχής τε ϗ προσηνὴς δηλαδὴ ἐνέργεια, ἡ ἁρμονικῶς ϗ μετὰ ῥυθμοῦ, ϗ τάξεως τά τε ἐν τῷ σώματι ὑγρὰ, τήν τε καρδίαν, ϗ τὰ τῶν ἀρτηριῶν σκεύη, ϗ τ᾽ ἄλλα τῶν μελῶν ὡς εἰκὸς ἄγουσα· αἱ δὲ ἐπείσακτοι, αἱ τῇ ὁμαλῇ ϗ εὐτάκτῳ ζωτικῇ ἐνεργείᾳ προσεπιγιγνόμεναι ἐπί τε νοσημάτων, ϗ παθῶν, ϗ ἡδονῶν, ϗ ἀλγηδόνων. Ἐπὶ τούτοις δὲ ϗ ταῖς διανοήσεσι κινήσεις τινὲς δι᾽ ὅλης τῆς ἐν τῷ σώματι ἐνεργείας τὰ πολλὰ συνάπτονται. Οἷον ἐκ τῆς τῶν καλῶν ἀντιλήψεως ἡ προσηνὴς ϗ ἡδεῖα φλὸξ ἡ τοῦ ἔρωτος· ἐκ δὲ τῆς ὕβρεων πεποιημένων ἡ αὐτίκα τὸ αἷμα ὑπερζέειν τε καὶ διαμανοῦσθαι παραίτιος γινομένη, οὐ προσηνῶς, οὐδὲ κατὰ βραχὺ δηλονότι, ἀλλὰ σφοδρῶς τε, ϗ σὺν ὀξύτητι, ὀργή· κινδύνου δὲ προκειμένη, ὁ κρυερὸς δι᾽ ὀστέων ἐκτρέχων τρόμος· ἥτε ὑπὸ βασκανίας ἐπισυμβαίνουσα τῆξις, καὶ τὰ παραπλήσια. Ταῦτα μὲν οὖν οὕτω τελεῖται ἐν τῷ σώματι, ὡς μὴ ἔχειν, εἰ μὴ ἀπὸ ἀρχῆς τινος ἐνεργητικῆς προϊέναι. Πρόεισι δὲ δήπου ἐλευθέρως μὲν οὐδαμῶς ἐκ τῆς ἀρχῆς ταύτης, ἀναγκαίως δὲ, καὶ ἐκ φύσεως τῆς αὐτῆς, ὡς ἔστι παντί που πείρᾳ τῇ ἐν ἑαυτῷ παιδευθῆναι. Ἀναφύονται τοιγαροῦν αἱ κινήσεις αὗται ἀπό γε τῆς ἀσωμάτου ψυχῆς, ἢ γοῦν ὑπὸ ἄλλου τινός. Εἰ μὲν οὖν ὑπ᾽ ἐκείνης, τῇ δυνάμει πάντως, ἥ περ ἔχει, δι᾽ ὅλου τοῦ σώματος διακεχυμένης, ἐνδομύχως τε ἐν ἅπασιν οἷς μεταδίδωσι τῶν κινημάτων τούτων μέρεσι παρούσης. Ἐπειδὴ γὰρ αἱ περὶ ὧν ὁ λόγος ἐνέργειαι οὔκουν μὲν ἀπὸ θελήσεως, ἐκ φύσεως δὲ τῆς δραστηρίου ταύτης ἀρχῆς πηγάζουσιν, ἅτε δὴ ἀναγκαῖαι οὖσαι, ὡς εἴρηται, ἀνάγκη πᾶσα διακεχῦσθαι ϗ τὴν ἀρχὴν ταύτην δι᾽ ὅλου τοῦ σώματος τῶν μορίων, οἷς ἡ φυσικὴ αὕτη ζωὴ πρόσεστι, ϗ ἐνέργεια. Οἱ γὰρ διὰ τῶν ζωτικῶν πνευμάτων τοῦτο τελεῖσθαι οἰόμενοι, ϗ διὰ τῶν νευριδίων, ϗ στημονιδίων ἐκείνων, οἷς περ ἱστὸς οἱονεὶ τὸ ἀνθρώπου σῶμα συνύφασται, ἀσφαλὲς μὲν οὐδὲν ϗ βέβαιον τοῦτο δεῖγμα ἡμῖν προχειρίζονται, ϗ ἀμέσως ἐκ τῆς ψυχῆς τὰς ἐνεργείας δὴ ταύτας αἰτούμενοι, μόναις λέξεσι τῶν Σχολαστικῶν εἰσὶ διαφέροντες. Ὅτι γὰρ ἡ τῶν ζωτικῶν πνευμάτων ὑπόθεσις οὐ πάνυ πιθανῶς ἔχει, ὑπὸ πολλῶν ἤδη δέδεικται. Οἵ τε Μηχανικοὶ διὰ τῶν νευριδίων δὴ τούτων ϗ στημονιδίων οὐδὲν ἄλλο, εἰκασίαις χρησάμενοι, δεῖξαι ὤφθησαν, ὅτι μὴ ἀπὸ τοῦ ἐγκεφάλου ἐπὶ τὰ ἔσχατα τοῦ σώματος

μέρη μετοχετεύεσθαί πως τὴν κίνησιν, κἀκ τούτων χωρεῖν ἄχρι πρὸς τὸν ἐγκέφαλον. Ἀλλ' οὐδὲν κωλύει, ϗ τούτου τεθέντος, διακεχῦσθαι λέγειν δι' ὅλου τοῦ σώματος τὴν ζωτικὴν δύναμιν, κἀξ αὐτῆς προϊέναι τὰς ἀναγκαίας τῆς ἀνθρώπου φύσεως ἐνεργείας· μᾶλλον δὲ, ϗ πολλοὶ ἐκεῖνο προφανῶς διατελοῦσι διδάσκοντες, ϗ πρὸ πάντων Βοεράβης, ὃν ἐγὼ τὴν περὶ τὰ τοιαῦτα σοφίαν ἄριστον εἶναι τίθημι. Ἀλλὰ γὰρ καὶ ὅπως ἂν ἡ ζωτικὴ αὕτη δύναμις διὰ τοῦ σώματος διαχέοιτο, ϗ ὅθεν ἂν προϊέναι ἄρχοιτο, εἴτ' ἐκ τοῦ ἐγκεφάλου ὁρμωμένη, ἢ γοῦν ϗ ἐκ τῆς καρδίας, ἢ ἀλλαχόθεν, εἴπερ αὕτη ἀμέσως ἐστὶν ἀπὸ τῆς ψυχῆς, ἔσται δήπου τῇ ψυχῇ ζωτική τε ϗ οὐσιώδης. Ἆρ' οὖν ἡ τῆς ψυχῆς οὕτως ἔχουσα δύναμις δι' ὅλου τοῦ σώματος δίεισιν. Ἀλλ' ὡς εἰς μέρη ἡ ψυχὴ ἀδιάῤῥηκτος, ἕξει δήπου τὴν τοιαύτην δύναμιν ἐν ἑαυτῇ ἔμμονον. Καὶ ἔσται ἄρα ἡ ψυχὴ ὅλη οἱονεὶ ἐντελέχεια πρώτη, ἐνδομύχως παροῦσα ἐν ὅλῳ τῷ σώματι. Μὴδ' εἴποις, ὅτι δέον οὕτω ϗ τὴν ψυχὴν ἐκδιαχεῖσθαι ἐπὶ τῶν σωμάτων, οἷς κοινωνεῖ τῆς κινήσεως. Πρῶτον μὲν γὰρ ἀγνοεῖται τίνι λόγῳ ἡ τῆς κινήσεως τελεῖται μετάδοσις (1). Εἶτα εἰσὶν οἷς δοκεῖ ϗ κινητικήν τινα δραστήριον δύναμιν διὰ πάσης τῆς ἐγκοσμίου ὕλης διήκειν, μηδὲ κινεῖσθαι τῶν σωμάτων ἕκαστα μετοχετεύσει δυνάμεων, ἀλλ' ὑποχωρήσει τῶν κωλυμάτων, ὅπερ ἐμοὶ μὲν οὐ τέλεον ἀληθῶς ἔχον ἔοικεν, ἀλλ' οὐδὲ πάντη ψευδῶς· ἔνι δὲ δήπου πολλὰ ὑφορᾶσθαι ϗ τῶν ἀμφισβητησίμων, ἄχρις οὗ τῷ πράγματι φῶς ἐπιλάμψῃ. Οἷς πρόσθες, ὅτι ϗ ἡ μεταδιδομένη ὑπὸ ἀνθρώπου τοῖς ἄλλοις σώμασι δύναμις μακρῷ διενήνοχε τῆς ζωτικῆς ἐκείνης τῆς ὅλῳ ἐνούσης τῷ σώματι. Τελευταῖον ῥάδιον διὰ τοῦ προκειμένου συστήματος ἀναπτύσσονται οὐχ ὅπως τὰ τῇ ζωῇ ϗ τῇ αἰσθήσει προσανήκοντα, ἀλλὰ ϗ ὅσα τῇ ἡδονῇ, ϗ τῷ ἄλγει προσιδιάζει, ἅτινα, παρὰ τὸ δι' ὅλου αἰσθητὰ τοῦ σώματος γίνεσθαι, ἐπιτείνεσθαι πέφυκε ϗ ἀνίεσθαι ἀνάλογον τῇ ἐπιτάσει ϗ τῇ ὑφέσει ταῖς ἐν τῇ κινήσει τοῦ σώματος, ᾗπερ ἡ ζωὴ συνίσταται, ϗ ἡ αἴσθησις· συζεύγνυσθαι δὲ τὰ πολλὰ πέφυκε, ϗ ἄλγος ἄλγει, ἕτερον ἑτέρῳ, ϗ ἄλγος ἡδονῇ· ϗ ταῦτα ἐν διαφέρουσι τοῦ σώματος τοῦ ἀνθρωπείου μέρεσιν εὐτόνως τε ϗ διακεκριμένως αἰσθητὰ γίνεται. Ἃ δὴ πάντα διὰ τοῦ τῶν Σχολαστικῶν τοιοῦδε συστήματος διασωζόμενα, μὴ πάνυ εὐλόγως παρίστησιν, ὑπὸ τῶν ὀλιγώρως κατὰ τούτου φερομένων ἀποκηρύττεσθαι τὴν τῶν Περιπατητικῶν δόξαν περὶ ἑνώσεως ψυχῆς σὺν τῷ σώματι.

---

(1) Ὅρα Μυσχεμβ. στοιχ. τῆς Φυσικ. §. ριά. ριβ'.

Γ'. Εἶεν ἂν πλείω τοῦ αὐτοῦ φαινομένου τὰ αἴτια, διὸ οὐδ' ἑνὶ ϗ μόνῳ προκειμένῳ ἐμμενετέον, μὴ παρούσης φανωτάτης ἀποδείξεως, τὰ λοιπὰ ἀποπτύουσιν. Ἐπεὶ οὖν οὐκ ἀσφαλὲς, τὸ μὴ ἄλλῳ τῳ τῶν ἐκτεθέντων ἐκείνων τρόπων, ἢ ϗ παρὰ τοὺς ἐκτεθέντας ἑτέρῳ ἡμῖν πάντῃ ἀγνοημένῳ, ἀλλὰ δυνατῷ οὐχ ἧττον, τὴν ψυχὴν συνῆφθαι τῷ σώματι, εἰς μοῖραν στήσεται τὸ τῶν Περιπατητικῶν φρόνημα ψιλῆς ὑπολήψεως. Παρὰ ταῦτα δὲ καί τινα ἐνεισάγεται τῷ ἐκτεθέντι συστήματι, ἅπερ οὐδ' οἱ ἀρχαῖοι τῶν Περιπατητικῶν, οὐδ' οἱ μετ' ἐκείνους οἶμαι γεγονότες ἀκριβῶς συνῆκαν ποτέ. Τί γὰρ τὸ ἀπὸ τοῦ σώματος ἐπὶ τὴν ψυχὴν μεταβαῖνόν τε ϗ πνευματιζόμενον; Τί δὲ τὸ ἐκ τῆς ψυχῆς ἐπὶ τὸ σῶμα ϗ σωματιζόμενον εἶναι βούλεται; Φωνὰς τοῦ μηδενὸς οὔσας σημαντικὰς εἰκότως ταύτας Οὐόλφιος ἀπεκάλεσε. Πῶς δὲ καὶ τὸ σῶμα ὑπὸ τῆς ἀσωμάτου οὐσίας κινεῖσθαι πέφυκεν; Εἰ γὰρ ἀντενεργήσει φαῖεν, ἀλλὰ τοῦτο τῆς σωματικῆς πάντως φύσεως τὸ ἀντενεργεῖν ἐπὶ τοῖς ἐνεργοῦσί τε ϗ ὠθοῦσι. Τὸ δέ γε ἐπὶ τὴν ψυχὴν τὸ σῶμα ἀντενεργεῖν, ϗ μᾶλλον ἀπερινόητον. Ἀπαντῶσι δὲ τοῖς Σχολαστικοῖς ϗ ἐπὶ τῶν δραστηρίων δυνάμεων παντὸς σώματος, ϗ ἐπὶ Θεοῦ αὐτοῦ, ὡς ἀρχῆς πηγαίας οἱασοῦν κινήσεως τιθεμένου, τὴν αὐτὴν ἀπορίαν μένειν συγκαταφήσομεν. Ἀλλὰ δότωσαν δὴ ϗ αὐτοὶ, ὥσπερ ταῦτα, οὕτω κἀκεῖνα διανοίᾳ τυγχάνειν ἀνέφικτα. Αὐτὸς οὖν (τό γε εἰς ἐμὲ ἧκον) εἴπερ ἐπὶ τῶν ἀσαφῶν τὸ ἧττον ἀσαφὲς ὁμοιαληθὲς εἶναι λέγοιτο, ῥᾴδιον οἶμαι εἰς νόησιν ὑπὸ δυνάμεως εἰδοποιούσης λέγειν κινεῖσθαι τὸ σῶμα, ἢ ὑπὸ ἐπιστατούσης. Ἀλλὰ κἂν τούτῳ, ὅπερ ἧττον εἶναι δοκεῖ ἀσαφὲς, τοσοῦτον ἀσαφείας ϗ σκότους περίεστιν, ὥστε τὸν βλέπειν τί λέγοντα προφανῶς καθ' ἧς ἔχει συνειδήσεως ἀποφθέγγεσθαι. Διὸ οὐκ ἀλόγως Οὐόλφιος τὴν ἐκτεθεῖσαν διδασκαλίαν ταῖς κρυφιωτέραις καλουμέναις ποιότησι φέρων συγκατελέλεχε, γεωμετρικῇ (ὅπερ ἀστεῖον ἀτεχνῶς) ἀποδείξει τὸ λεχθὲν αὐτῷ κατασκευάσας (1).

Δ'. Ἡ ἀνθρωπίνη ψυχὴ οὐσία τυγχάνει τοῦ σώματος διακεκριμένη ϗ διαφέρουσα (Πρ. ΙΒ'.)· ἑνουμένη δὲ τῷ σώματι, ὥσπερ οἱ Σχολαστικοὶ βούλονται, μίαν σὺν ἐκείνῳ ϗ τὴν αὐτὴν συναποτελέσει οὐσίαν, ἧς ὕλη μὲν ἐστὶ τὸ σῶμα, ἡ δὲ ψυχὴ εἶδος ϗ ἐντελέχεια, οἷά που σαφῶς ϗ αὐτοὶ ἀποφαίνονται. Ἀλλ' οὐκ οἶδ' εἰ τοῦτο τῇ ψυχῆς φύσει, οἵαν ἀνωτέρω ἀπεδειξάμεθα, σύμφωνον.

---

(1) Ψυχολ. λογ. Τμ. Γ'. Κεφ. Β'. §. 528.

## Σχόλιον.

Ἐπεὶ μὴ κατ' ἐπιστασίαν τὴν ψυχὴν τὸ σῶμα κινεῖν, ὡς ἐδόκει τῷ Πλάτωνι, καὶ τῷ Αὐγουστίνῳ ὕστερον πλατωνίζοντι, οὐδὲ δι' ὧν ἐκ τοῦ σώματος ὑποδέχεται φαντασμάτων, ὡς Ἀβερρόης ὑπείληπτο, ἐν οἷς εἶδος εἶναι οὐσιῶδες τὴν ψυχὴν κρατῦναι σπεύδει τοῦ σώματος ὁ Ἀκυνάτης (1), ἐπὶ τὴν Δικαιάρχου ἔοικε σχεδὸν ὅτι κατηνέχθη ἀτοπίαν περὶ ψυχῆς φύσεως. "Οὐ γὰρ „μᾶλλον, φησὶν, ἕν τι ἐστὶ τὸ ἐκ τῆς νοητῆς οὐσίας, καὶ τῆς ὕλης τοῦ σώμα„τος, ἢ ἐκ τοῦ εἴδους τοῦ πυρὸς, καὶ τῆς ὕλης αὐτοῦ. Τυχὸν δὲ καὶ μᾶλλον· „ὅσῳ γὰρ τὸ εἶδος ὑπὲρ τὸ ἔνυλον γίνεται, τοσούτῳ μᾶλλον ἐξ αὐτοῦ καὶ „τῆς ὕλης ἓν συναποτελεῖται." Εἰ δὲ καὶ κατωτέρω μικρὸν τὴν νοερὰν οὐσίαν, οἱονεὶ παλινῳδίαν ᾄδων, τέλεον μὴ ἐμβεβαπτίσθαι τῇ ὕλῃ, κατὰ τῶν εἰδῶν τὰ ἄλλα προστίθησιν, ἀλλ' ἐκεῖνα τὰ ἀνωτέρω ἄρδην ἀναιρεῖ, καὶ διὰ τούτων τῷ συστήματι, οὗπερ ὅλαις δυνάμεσιν ἀντέχεται, ἀντιβαίνει. Καὶ μὲν δὴ καὶ τὰς προσπιπτούσας ἀπορίας, ὡς ἔθος αὐτῷ ἐπιλυομένῳ προσετέθη καὶ ταῦτα (2). „Οὐ γὰρ οὐσίαι δύο ψυχὴ καὶ σῶμα ἐνεργείᾳ ὑφιστάμεναι, ἀλλ' ἐκ τούτων „ἀμφοτέρων οὐσία μία ἀποτελεῖται, ἐνεργείᾳ ὑφισταμένη," ἤτοι ἓν καθ' αὑτὸ ὑφιστάμενον. Τοῖς δὲ ἀνθυποφέρουσιν οὕτως ἕψεσθαι μηδὲν εἶναι διῃρημένον ἄρα τὴν ψυχὴν τοῦ σώματος ἀπήντηκεν, ὅτι καὶ μάλα διῄρηται, εἰ μὴ κατὰ τὸν τῆς οὐσίας λόγον, ἀλλὰ τῇ νοητικῇ δυνάμει, καίτοι ἄλλως τὴν ἑκάστου δύναμιν ἐν τῇ ἰδίᾳ οὐσίᾳ ἐμπεριέχεσθαι τοῖς ἄλλοις φιλοσόφοις συμφωνῶν, πολλαχοῦ δίδωσιν ὁ αὐτός. Εἷς γοῦν τις (3) καὶ τῶν ἀμφὶ τῷ Ἀκυνάτῃ ὀπαδῶν οὐ φαῦλος συνηγορῶν τοῦ καθηγεμόνος τῷ δόγματι, ὅπως ἐκ τοῦ σώματος τοῦ ἐμβρύου, ὃ καὶ πρὸ τοῦ τῇ ψυχῇ συναφθῆναι οὐσία ἐστὶ, καὶ ἐκ τῆς οὐσίας αὐτῆς τῆς ψυχῆς, ἐκ δυοῖν οὐσιῶν ἀμέλει, οὐσίαν μίαν συναποτελεῖσθαι διδάσκων, τὸ κατὰ τῶν Περιπατητικῶν δόγμα ἀδύνατον, τῇ ἐπελεύσει τῆς ψυχῆς, ἔφησε, κατ' οὐσίαν τὸ σῶμα φθείρεσθαι. Βαβαὶ τῆς θαυμαστῆς ταύτης φιλοσοφίας! Εἶτ' οὐδὲ τοῦτο παραλειπτέον, ὅπερ ἔφησεν Ἀκυνάτης (4), ὅτι εἶδος καὶ ὕλη, ὡς τὸ ἐνεργείᾳ καὶ τὸ δυνάμει ἔχει πρὸς ἀλ-

(1) Κατὰ ἐθν. Κεφ. ΞΗ'.

(2) Αὐτ. Κεφ. Ξ'.

(3) Φραγγίσκος Φεῤῥαριήνσιος.

(4) Αὐτ. Κεφ. Α'. καὶ ἀλλ.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λήλα. Εἰ γοῦν εἶδος ἡ ψυχὴ, ἔςαι δὴ τοῦ σώματος ἐνέργεια πρώτη δυνάμει ζωὴν ἔχουσα, ἅπερ εἴ τις ἐπὶ τὸν καθ' ἡμᾶς παρὰ τοῖς φιλοσοφοῦσι κρατοῦντα τρόπον τοῦ λέγειν μετενεγκεῖν βούλοιτο, οὐδὲν ἄλλο ἐκφέρει, ἢ τὴν ψυχὴν δύναμιν εἶναι τινὰ τοῦ σώματος δραςήριον, διὰ τούτου ὅλου διακεχυμένην. Τοῦ δὲ τὶ διαφέρει τὸ λέγειν κατὰ Δικαίαρχον, ὅτι κρᾶμα ψυχὴ τυγχάνει σωματικὸν, ὑφ' οὗ ζωὴ πᾶσα καὶ αἴσθησις;

## Πρότ. ΚΒ'.

„Αἱ τῆς φυτικῆς τε καὶ αἰσθητικῆς ζωῆς κινήσεις τῶν ἀναγκαίων εἰσὶ καὶ „οὐχὶ τῶν ἐλευθέρων, τὴν χρῆσιν τοῦ λόγου φθάνουσαι.

## Δεῖξις.

Τὸ γὰρ αὔξειν, καὶ τρέφεσθαι, καὶ θάλλειν τὸ σῶμα, καὶ πνευμόνων κινήσις, καὶ καρδίας, καὶ αἵματος, οὐκ ἐφ' ἡμῖν ἐςὶν, οἷα ἡ χειρῶν, καὶ ποδῶν, καὶ γλώττης, καὶ τῶν τοιούτων μελῶν, αἱ ἀπὸ βουλῆς ἡμῖν καὶ ἐλευθερίας τελούμεναι (ὁρ. ιβ'.). Ἐκ μὲν οὖν ἐκείνων καὶ κράσεις, καὶ παθήματα κράσεων, καὶ κλίσεις αἱ ἐπί τινα, καὶ ῥοπαὶ, ἃ πάντα ἀναγκαῖα εἶναι ὁμολογεῖται, καὶ ἄλγους αἴσθησις, καὶ ἡδονῆς, καὶ αὗται ἀπό τε τῶν ἔξω καὶ ἔσω αἰτίων σφοδρότερον προσβαλλόντων ἡμῖν παρεμποιούμεναι διαθέσεις, μὴ ἐφ' ἡμῖν οὖσαι, ὡς, εἰ μή τις εὐήθης πάντη ἢ καὶ ἠλίθιος, ἕκαςος τῇ ἑαυτοῦ πειθόμενος συνειδήσει συγκαταφήσει. Τὰ γοῦν τοιαῦτα καὶ τὴν χρῆσιν τοῦ λόγου φθάνοντα, βουλῆς ἁπάσης ἡγεῖσθαι καὶ προαιρέσεως σαφὲς μάλα καὶ προδηλότατον.

Τοὺς δὲ δὴ περὶ Μαλεβράγχιον, μὴ παντὸς λόγου ἡγεῖσθαι ὑπειληφότας τῶν τοιούτων κινημάτων τινὰ, ὅτι προαντιληφθείσης ἐκείνων τῆς ψυχῆς, τὸ θεῖον αὐτίκα μάλα παράγει αὐτὰ, ἡδέως πυθοίμην ἂν, ἐπεὶ τὸ σῶμα κινεῖται ὑπὸ Θεοῦ ἐξ ἀφορμῆς τῶν ἀντιλήψεων (δεῖ γὰρ ἀμέλει τοι κατ' αὐτοὺς σώζειν τοῦ συνδέσμου τὸν νόμον), πότερον βούλεται ἄρα ἡ ψυχὴ τὰς πρὸς φυλακὴν τοῦ βίου ἀναγκαίας οὔσας κινήσεις; Εἰ γὰρ, δῆλον ὅτι αὗται νοηθεῖσαι ἤδη, παρὰ Θεοῦ τῷ σώματι ἐπακολουθήσουσιν, ὃ τίνι ἂν ποτε μετὰ σπουδῆς λέγοιτο;

## Πρότ. ΚΓ'.

„Ἐὰν τῶν ἐν τῷ σώματι τουτωνὶ κινήσεων (Πρ. ΚΒ'.) ἀρχὴ τυγχάνῃ ἡ „ψυχὴ ἄμεσος, γενήσονται δὴ αὗται ἀναγκαίᾳ προβλύσει, ἤτοι ἐπιῤῥοῇ, „τῆς ψυχῆς ἐπὶ τῷ σώματι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε... της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Δεῖξις.

Τὰ γὰρ ἔκ τινος μὴ ἐλευθέρως, ἀλλ᾽ ἀναγκαίως προϊόντα, προβλύσεις εἰσὶν, ἤτοι ἐπιῤῥοαὶ, ἀνάγκῃ φύσεως τοῦ ἐξ οὗ πρόεισιν ἐκπηγάζοντα. Ἐπεὶ δὲ αἱ τοιαῦται κινήσεις καὶ ἐνέργειαι τὴν τοῦ λόγου φθάνουσι χρῆσιν (Πρ. ΚΒ΄.), οὐκ ἂν εἶεν ὅτι μὴ ἐπιῤῥοαὶ ψυχῆς ἀναγκαίως ἔχουσαι, εἴγε ἐξ αὐτῆς ἀμέσως εἰσί.

## Πρότ. ΚΔ΄.

Ἐὰν ἡ ψυχὴ ἄμεσος ἀρχὴ τεθῇ τῆς ἐν τῷ σώματι ἐνεργείας, ἔσται εἶ„δος οὐσιῶδες τοῦ σώματος.

## Δεῖξις.

Ἔστω γὰρ, εἰ τοῦθ᾽ οὕτως ἔχει, ἡ τοῦ σώματος ἐνέργεια ἀναγκαία τις ἐπιῤῥοὴ τῆς ψυχῆς τῆς δι᾽ ὅλου διϊούσης τοῦ σώματος (Πρ. ΚΓ΄.). Αἱ δὲ ἀνάγκῃ φύσεως ἀπό τινος ἐπιῤῥοαὶ οὐσιώδεις εἰσὶν ἐκείνῳ· οὐσιώδης ἄρα τῇ ψυχῇ ἡ τοιαύτη ἐνέργεια. Καὶ αὐτὴ δὴ ἔσται ἡ ψυχὴ ἡ δραστήριος, ἐνέργεια οὖσα καὶ ἐντελέχεια ἡ τοῦ σώματος, τουτέστιν εἶδος αὐτοῦ οὐσιῶδες.

## Πόρισμα Α΄.

Εἴπερ οὕτως οἱ περὶ Πλάτωνα καὶ Καρτέσιον τὴν ψυχὴν ἐν τῷ ἐγκεφάλῳ καθίζουσιν, ὥστε αὐτὴν ἀρχὴν τυγχάνειν ἄμεσον ὅλης τῆς ἐνεργείας τοῦ σώματος, οὐ δυνήσονται πάντως οὐδὲ αὐτοὶ ἀποφῆναι, ὅτι εἶδος ἡ ψυχὴ οὐσιώδης τοῦ σώματος (Πρ. ΚΔ΄.).

Ἀλλὰ καίτοι ἐν τῷ ἐγκεφάλῳ τὴν ἕδραν ἔχουσα ἡ ψυχὴ, κἀντεῦθεν διεξάγει τὸ ὅλον σῶμα, τῆς προσηκούσης τοῖς μέλεσι μεταδιδοῦσα κινήσεως, τελεῖ μέντοι τοῦτο καὶ μὴ φυσικῶς ἐπὶ τῷ σώματι ἐπιῤῥέουσα, ἤ τι κωλύει, φασίν; Ἀλλὰ γὰρ κἂν ἐνεῖναι πληθὺν πνευμάτων δαψιλῆ τε καὶ ἄφθονον δῶμεν τῷ σώματι, εἰς παραγωγὴν τῶν ἐνεργειῶν τοῦ αὐτοῦ περιδεξίως ἐχόντων, κἄν τε ὑποθῶμεν ἀντὶ τῶν πνευμάτων ἐπὶ τούτῳ ὑπουργεῖν τὰ νευρίδια, καὶ τὸ ἐν αὐτοῖς ὑγρὸν, κἄν τε τοὺς πάνυ λεπτοὺς στήμονας, ὃ καὶ μᾶλλον εἰκὸς, τοῦ ὅλου οἱονεὶ ὑφάσματος, ἐκ τοῦ ἐγκεφάλου ἄρχεσθαι δοκοῦντος, καὶ τοῦ ζῆν ὡσαύτως ἐκεῖθεν, ἅλις δήπου ἕξει, εἰ κινηθήσεται ὑπὸ τῆς ψυχῆς ὁ ἀδὴν (Pinealis καλεῖται παρὰ τοῦ καρποῦ τῆς πίτυος τὴν ἐμφέρειαν), ἢ τὸ μόριον τοῦ ἐγκεφάλου, ὅθεν τὰ νεῦρα προΐασι πρὸς σύστασιν τῆς ἐν τῷ σώματι ζωῆς τε καὶ ἁρμονίας. Τί γοῦν εἰπεῖν ἔχοιεν οἱ περὶ Καρτέσιον; Πότερον βουλήσει μόνῃ ἡ ψυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006